# TEZAUR LITURGIC

## 17 MAI

ANTONIOS MARKOU

# SLUJBA SF.MUCENIC NICOLAE DE LA SOFIA

ATENA,2015


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 17 ΜΑΪΟΣ
# ΝΙΚΟΛΑΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΤΟΥ ΕΞ ΙΩΑΝΝΙΝΩΝ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Ἀντωνίου Μάρκου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια: Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Θῦμα ἱερώτατον, ὑπὲρ Τριάδος γενόμενος, προκηρύττεις τοῖς πέρασι Πατέρα τὸν Ἄναρχον καὶ τὸν τούτου Λόγον, Νικόλαε Μάρτυς, καὶ τὸ Πανάγιον ὁμοῦ, ἐν σοὶ σκηνώσαν, Πνεῦμα Παράκλητον. Διὸ καὶ μακαρίζεσαι χρεωστικῶς καὶ γεραίρεσαι, ὡς λυτρούμενος ἅπαντας, πάσης βλάβης καὶ λύμης τε.

Ὅλος σὺ γενόμενος, τῆς εὐσεβείας ἑδραίωμα, ἐξ αἱμάτων κατάῤῥυτος ἐφάνης, Νικόλαε, ἐν τῷ μαρτυρίῳ, ἐλέγχων τυράννων τὴν ψευδοπίστιν καὶ Χριστοῦ διακηρύττων τὴν θείαν δύναμιν. Διὸ λίθων προσκρούσεσι καὶ τοῦ πυρὸς τῷ ἐγκαύματι, τοῦ νυμφῶνος ἠξίωσαι τοῦ οὐρανίου, Μακάριε.

Σθένει ἐνθεώτατα, ὑπὲρ Τριάδος ἐνήθλησας, διὰ λίθων, Νικόλαε, δι᾽ ὧν καὶ ἀπέπλυνας τὴν ἐξωμωσίαν καὶ τὴν τῆς σαρκός σου ἀκούσιον περιτομὴν καὶ δυναστείαν τὴν πολυμήχανον, Βελίαρ τοῦ ἀλάστορος

καὶ Ἀγαρηνῶν τὴν μικρονοιαν, ὧν ἡμᾶς ἐλευθέρωσον, ταῖς ἁγίαις πρεσβείαις σου.

Λήθη ὅτε ἐκάλυψε τὴν σὴν μνήμην, μακάριε, Θωμᾶς ἀπεκάλυψεν ἐπιπνοίᾳ Πνεύματος, Ἱερεύς, ἐν κόπῳ. Ὅθεν καὶ ἐγνώσθη ἡμῖν τοῖς Ἕλλησιν αὐτή, ἵνα τιμᾶται ἐν δόξῃ πάντοτε. Ἡ εὕρεσις δ᾽ εἰκόνος σου, ὡς καὶ ναοῦ εἰς Αὐλῶνά τε, ἡμᾶς πάντας συνήγαγε, τοῦ τιμᾶν σὲ τὸν Μάρτυρα.

*Δόξα. Ἦχος δ΄.*

Τὸν νοερὸν ἀδάμαντα τῆς ὑπομονῆς, δεῦτε φιλέορτοι, Νικόλαον τιμήσωμεν τὸν Νεομάρτυρα. Ἐξ Ἰωαννίνων μὲν ὁρμώμενος, εἰς Βουλγαρίαν τὸν Λόγον Χριστὸν ὡς Θεὸν ὁμολόγησεν, ὑπ᾽ Ἀγαρηνῶν τυπτόμενος. Ἐπὶ τῷ τέλει δὲ λίθοις καὶ πυρὶ τὸ ζῆν ἐξεμέτρησε καὶ τὴν μακαρίαν αὐτοῦ ψυχὴν εἰς χεῖρας Κυρίου ἐναπέθετο. Καὶ νῦν ἐν οὐρανοῖς, τῷ θρόνῳ παριστάμενος τῆς Ἁγίας Τριάδος, αἰτεῖται ὑπὲρ ἡμῶν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλατται, εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν στίχον Στιχηρὰ Προσόμοια.*
*Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Μάρτυρα Ἑαυτοῦ πιστόν, κατακαέντα ὑπὲρ τῆς εὐσεβείας, Χριστὸς ὁ πάντων Κτίστης κηρύττει σὲ Νικόλαε.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Κάματον τοῦ Χριστοῦ, Νικόλαε Τρισμάκαρ, ἱδρῶτι σῷ καὶ μόχθῳ, διὰ πυρὸς καὶ λίθων ἐνδόξως ἐξετέλεσας.

Στ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ ἄνθος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Σύμπασα ἡ Ἑλλάς, ἐνθέως νῦν ἀγάλλου, κατέχουσα ἐν κόλποις, τὸν ἐξ Ἰωαννίνων Νικόλαον τὸν Μάρτυρα.

*Δόξα καὶ νῦν. Θεοτοκίον.*

Πάγχρυσε κιβωτέ, ὢ Κεχαριτωμένη, Μαρία Θεοτόκε, αὖθις ἐρῶ σοι χαῖρε, Ἁγνὴ Θεοχαρίτωτε.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Ἰωαννίνων τὸν γόνον, Βουλγαρίας τὸ καύχημα, Ὀρθοδόξων τὸ κλέος, Ἐκκλησίας ἀγλάϊσμα, Νικόλαον τιμήσωμεν πιστοί, τὸν θεῖον Νεομάρτυρα Χριστοῦ. Μαρτυρίου γὰρ στεφάνου διὰ πυρὰς καὶ λίθων αἰκισμῶν ἄξιος γέγονεν. Δόξα, οὖν τῷ δοξάσαντι αὐτόν, δόξα τῷ δοξασθέντι ὑπ᾽ αὐτοῦ, δόξα Κυρίῳ τῷ Θεῷ, τὸν τοῦτον χαριτώσαντα.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ´. Ἔδωκας σημείωσιν.

Δεῦτε φιλομάρτυρες καὶ Ἠπειρωτῶν ἅπαν σύστημα, τὸν κλεινὸν Νεομάρτυρα, συμφώνως τιμήσωμεν, Νικόλαον τὸν θεῖον, τὸν ἐν Βουλγαρίᾳ διὰ πυρὸς καὶ αἰκισμῶν ὁμολογίαν αὐτοῦ ὑπογράψαντα. Διὸ καὶ νῦν γεραίρεται καὶ ὑπὸ πάντων δοξάζεται, τῶν τῷ θείῳ τεμένει τοῦ προστρεχόντων ἐκ πίστεως.

Ὕμνοις τὸν Νικόλαον τὸν Νέον ἀνευφημήσωμεν, Μαρτύρων τὸ προτύπον, Ἠπείρου ἐγκαλλώπισμα, Ἰωαννίνων κλέος καὶ τῶν ὑποδούλων τὸν ἀκραιφνῆ ὑπογραμμὸν καὶ καρτερίας πιστοῖς ὑπόδειγμα. Χριστιανῶν τὸ στήριγμα, Ἀγαρηνῶν τὴν καθαίρεσιν, τῶν πιστῶν καταφύγιον, οὐρανῶν τὸν οἰκήτορα.

Δεῦτε τὸν Νικόλαον, ἀπὸ Ἠπείρου τὸν Μάρτυρα, ἀξίως τιμήσωμεν, Βουλγάρων ἐντρύφημα καὶ Σοφίας δόξαν, πάντων Ὀρθοδόξων στῦλον καὶ ἔρεισμα στεῤῥόν, τῶν ὑποδούλων φρουρὸν πανάριστον, ἅμα τε καὶ παράδειγμα ὁμολογίας καὶ καύχημα καὶ αὐτῶν καταφύγιον, Ἐκκλησίας τὸ κόσμημα.

Χαίροις, ὦ Νικόλαε, ὁ τῆς νίκης ἐπώνυμος, νικήσας γὰρ τύραννον, διὰ λίθων τὸν θάνατον καὶ πυρὸς ἐδέξω. Ὅθεν ἀνεδείχθης τῶν ὑποδούλων χαρμονή, τῶν ἐν δουλείᾳ τε φῶς τὸ ὑπέρλαμπρον. Διὸ καὶ σὲ

γεραίρωμεν, τὸν τῆς νίκης ἐπώνυμον, τὸν κλεινὸν Νεομάρτυρα τοῦ Κυρίου καὶ ἄριστον.

Μάρτυρα καλλίνικον Χριστοῦ καὶ γόνον τὸν ἔνδοξον Ἠπείρου καὶ καύχημα, ἅμα Βουλγαρίας τε καὶ Ἰωαννίνων, τὸν τῆς Ὀρθοδόξου στῦλον τῆς Πίστεως στεῤῥὸν καὶ μαρτυρίας λαμπρὸν ὑπόδειγμα, νεότητος τὸ στήριγμα, Σοφίας τὸ ἐγκαλλώπισμα, Ἐκκλησίας τὸ καύχημα, εὐφημήσωμεν ἅπαντες.

Δεῦτε φιλομάρτυρες τὸν Νεομάρτυρα στέψωμεν, Νικόλαον τῆς Σοφίας, ἐν ὕμνοις καὶ ᾄσμασιν θείων ἐγκωμίων καὶ λόγοις ἐνθέοις, ὅτι ἐνίκησε ἐχθρόν, διακηρύσσων Χριστοῦ ἀλήθειαν. Διὸ καὶ κατηξίωται ἐν οὐρανοῖς συναυλίζεσθαι μετ᾽ Ἀγγέλων, οὐράνιον στέφος καὶ θεῖον κτησάμενος.

*Δόξα. Ἦχος β΄.*

Μαρτυρικὴν ἐπιδειξάμενος διάθεσιν, μετὰ ζεούσης ψυχῆς, ὑπὲρ Χριστοῦ νομίμως ἤθλησας, Νεομάρτυς ἔνδοξε. Ἀγαρηνῶν γὰρ τὴν πλάνην αἰσχυνθῇς, μαρτυρικῶν ἐπάθλων ἠξιώθης, παρὰ τοῦ πρώτου Μάρτυρος Κυρίου. Ἀλλ᾽ ὢ Νικόλαε, ἐν οὐρανίοις θαλάμοις τὰ νῦν προσεδρεύων, μὴ παύεις δεόμεθα πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα (Ἠσ. μγ´ 9-14).*

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; Ἠ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθε μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνωτὲ καὶ πιστεύσητε μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ οὐκ ἔσται πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα. Ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός. Ὅτι ἐξ ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἐστὶν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (γ´ 1-9).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνη. Καὶ γὰρ ἐν ὄψει τῶν ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν

καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινούσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενούσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπῇ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (α΄, 15-στ΄, 3).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαῖαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλήσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλιμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.

Ἀκούσατε οὖν Βασιλεῖς καὶ συνέτε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθαι οἱ κρατοῦντες πλήθους καὶ οἱ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Λιτή. Ἰδιόμελα. Ἦχος α΄.*

Τήν του Νεομάρτυρος, πιστοί, Νικολάου, ἡμέραν τὴν γεννέθλιον, δεῦτε τερψιθύμοις ᾠδαῖς, κεκαθαρμένη τῇ διανοίᾳ, πανηγυρίσωμεν. Οὗτος γὰρ γενναιοφρόνως, ὡς ἄλλος Ἰώβ, τῶν τέκνων τὴν στέῤῥησιν ὑπήνεγκεν, «ὁ Κύριος ἔδωκεν -βοῶν- ὁ Κύριος ἀφείλωτο». Ἀνδρικῶς καὶ μαρτυρικῶς ἀθλήσας, δι᾽ αἰκισμῶν καὶ πυρὸς κατέβαλε τοῦ πολυμηχάνου δράκοντος τὰς μεθοδείας. Οὗ ταῖς πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

*Ἦχος β΄.*

Νεομαρτύρων ἐγκαλλώπισμα, Νικόλαε, καθαρῶς ἐποπτεύων τὴν Τρισήλιον Θεότητα, Ταύτης ἐνδιαίτημα ἐγένου καὶ διὰ τὴν ὑπερβολὴν τῶν σῶν ἀρετῶν, μαρτυρίου ἠξιώθης καὶ τῆς δι᾽ αἵματος ὑπογραφῆς τῆς ὁμολογίας σου. «Ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος», πρὸ τοῦ σὲ κρίνοντος ἀνεβόας, διὸ καὶ ὄχλου τὴν μανίαν καὶ λίθων τὰς βολὰς καὶ πυρὸς τοῦ καύματος πεῖραν λαβόμενος, ἠξιώθης Παραδείσου καὶ τῆς μετὰ τῶν Ἁγίων ἀγαλιάσεως.

*Ἦχος γ΄.*

Νεομαρτύρων τοῦ Χριστοῦ καλλονὴ ὑπάρχων, ταῖς πρὸς Χριστὸν εὐπροσδέκτοις πρεσβείαις σου, προκόπτειν ἡμᾶς ἐν ἀγαθοῖς καταξίωσον, ὡς παῤῥησίαν ἔχων πρὸς Αὐτόν, Νικόλαε. Αὐτὸν γὰρ τῇ ἐκχύσει τῶν τιμίων αἱμάτων σου ἐδόξασας. Διό τῳ θρόνῳ Αὐτοῦ παριστάμενος, αἴτησαι δοθῆναι ἡμῖν, τοῖς τὴν σὴν μνήμην φαιδρῶς ἑορτάζουσι, τῶν ψυχῶν ἡμῶν τὴν ἀνάπαυσιν, μετὰ τῶν Δικαίων καὶ Ἁγίων δούλων Τοῦ.

*Ἦχος δ΄.*

Ὑπελθὼν ἀθλητικὸν ἀγῶνα, ὡς τῷ Κυρίῳ στρατευσάμενος, Ἀγαρηνῶν συνέτριψας κάρας καὶ Βελίαρ τὴν ἐπηρμένην ὀφρύν, διὰ τῆς σῆς ἐν αἵματι ὁμολογίας τῆς Πίστεως. Μακάριος εἰ, ἀθλητὰ Νικόλαε, ὅτι τῇ ἐπιγνώσει τοῦ κρείττονος, τὴν θείαν ἀλλοίωσιν ἐδέξω καὶ τῷ Χριστῷ ὠκειώθης καὶ διὰ πόνων ἀθλήσεως Αὐτὸν ἐδόξασας. Πρέσβευε οὖν Αὐτῷ λυτρώσασθαι ἡμᾶς πάσης περιστάσεως.

*Δόξα. Ἦχος δ΄.*

Ἔχει μὲν ἡ Οὐράνιος Βασιλεία τὸ πνεῦμά σου τὸ ἅγιον, ὅπερ Χριστὸς διὰ μαρτυρίου προσελάβετο. Ἔχει δὲ καὶ ἡ Ἐκκλησία τῶν Λειψάνων σου τὴν ὄνησιν καὶ τῶν πρεσβειῶν σου τὴν βεβαιότητα. Βουλγαρία μὲν σεμνύνεται ἐπὶ σοί, ὡς πιανθεῖσα τῇ τῶν αἱμάτων σου ἐκχύσει. Πλὴν ἔχει καὶ Ἑλλὰς τῆς σῆς καταγωγῆς τὴν τιμὴν καὶ πᾶσα τῶν Ὀρθοδόξων ἡ ὁμήγυρις, σὲ

πρέσβυν πρὸς Κύριον προβάλλεται, ἵνα σώσῃ ἡμᾶς παρόντων καὶ μελλόντων δεινῶν, ὡς Φιλάνθρωπος.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν στίχον Στιχηρὰ Προσόμοια.*
*Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Δεῦτε Νικόλαον πάντες, τὸν Νεομάρτυρα, τὸν παρεστῶτα θρόνῳ τοῦ Παντάνακτος Λόγου, τὸν μετέχοντα αἴγλης τῆς θεϊκῆς, συνελθόντες ὕμνοις τιμήσωμεν. Ἵνα πρεσβεύων Σωτῆρι πάντας ἡμᾶς, ἀπὸ κινδύνων ἐκλυτρώσεται.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Τὸν Νεομάρτυρα ὕμνοις ἐγκωμιάσωμεν, Νικόλαον τὸν Νέον, τῆς Ἠπείρου τὸν γόνον καὶ Σοφίας τὴν δόξαν καὶ τῶν πιστῶν, τὸ λαμπρὸν ἐγκαλλώπισμα. Ὁμολογούντων ὑπόδειγμα καὶ φρουρὸν καὶ Μαρτύρων θεῖον πρόμαχον.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Τοῦ Νικολάου τὴν μνήμην τοῦ Νεομάρτυρος, τιμήσωμεν ἐμφρόνως, ἑορτάζοντες ὕμνοις. Ὅτι λόγοις τε καὶ ἔργοις τὸν Ἰησοῦν, ὡς Θεὸν ὡμολόγησεν καὶ καθυπέμεινε λίθων τοὺς αἰκισμοὺς καὶ πυρὸς τὴν ὁλοκαυτῶσιν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τὸν φανερῶς ὁμολογήσαντα τὴν Τριάδα τὴν σεπτήν, Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα καὶ ἐνώπιον Ἀγαρηνῶν τυράννων δογματίσαντα Χριστοῦ τὴν

θεότητα, πνευματικῶς ἀνευφημήσωμεν Νικόλαον τὸν Νεομάρτυρα. Ὃς ὑπὲρ Αὐτοῦ λίθων αἰκισμοὺς καὶ πυρὸς τὴν καῦσιν ὑπέμεινεν, ἀπάρας μαρτυρικῶς πρὸς Χριστὸν τὸν ποθούμενον. Ὁ καὶ πρεσβεύει ὑπὲρ ἡμῶν, παντοίων κινδύνων ἐκλυτρώσασθαι.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Ἰωαννίνων τὸν γόνον, Βουλγαρίας τὸ καύχημα, Ὀρθοδόξων τὸ κλέος, Ἐκκλησίας ἀγλάϊσμα, Νικόλαον τιμήσωμεν πιστοί, τὸν θεῖον Νεομάρτυρα Χριστοῦ. Μαρτυρίου γὰρ στεφάνου διὰ πυρὰς καὶ λίθων αἰκισμῶν ἄξιος γέγονεν. Δόξα, οὖν τῷ δοξάσαντι αὐτόν, δόξα τῷ δοξασθέντι ὑπ᾿ αὐτοῦ, δόξα Κυρίῳ τῷ Θεῷ, τὸν τοῦτον χαριτώσαντα.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Νικόλαε Σοφέ, τῆς ἀθλήσεως ἄθλοις, καλῶς παρὰ Χριστοῦ προσεδέξω ὡς θῦμα, ἀθλήσας πανάριστα, τὸ σὸν αἷμα ἐξέχεας καὶ ὑπέμεινας τοὺς αἰκισμοὺς καὶ τὴν καῦσιν, ὅθεν ἔλαβες παρὰ τοῦ μόνου Δεσπότου, τὸν ἄφθαρτον στέφανον.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὴν β΄ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Νικόλαον Χριστοῦ τὸν Μάρτυρα εὐφημοῦμεν, ὅτι ἤθλησεν ῥ῾Ρτεῤῥῶς ἐν Σοφίας τῇ πόλει καὶ ἐκήρυξεν τοῖς πέρασι, τοῦ Χριστοῦ τὴν θεότητα καὶ ἀθεότητα Ἀγαρηνῶν τῶν τυράννων, οὓς ἀπήλεγξε ἐν παῤῥησία μεγάλη, δυνάμει τοῦ Πνεύματος.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλαιον,*

*Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Νεομάρτυς εὐκλεής, ἐκ τῆς Ἠπείρου προελθὼν καὶ ἐν Σοφία τὸ ζῆν, μαρτυρικῶς ἀπολείπων, διὰ πυρὸς πρὸς τὰ ἄνω ἀνέδραμες δώματα. Δεῦτε οὖν πιστοὶ ἀνυμνήσωμεν, τὴν ἄθλησιν αὐτοῦ καὶ καρτερότητα καὶ γεγηθότες Πνεύματι βοήσωμεν, Νικολάῳ τῷ νέῳ Μάρτυρι. Χριστῷ μὴ παύῃς τοῦ ἱκετεύειν, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος, πάντα τὰ θελήματα Αὐτοῦ ἐν αὐτοῖς.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. κα , 12- 19).*

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἑαυτοῦ μαθηταῖς. Προσέχετε ἀπὸ τῶν ἀνθρώπων, ἐπιβαλοῦσι γὰρ ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι, ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων. Καὶ θανατώσουσιν ἐξ ὑμῶν. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονὴ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Ὁ Ν΄ Ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Σήμερον ἡ κατὰ Βουλγαρίαν τοῦ Κυρίου παρεμβολή, ἐν εὐφροσύνη τοῦ ἐξ Ἰωαννίνων Νεομάρτυρος Νικολάου τὴν μνήμην ἐπιτελοῦσα, γηθοσύνως ἀγάλλεται, τῆς αὐτοῦ βιοτῆς καὶ τελευτῆς τὴν ἔκβασιν θεωρήσασα. Ἐκχύσας γὰρ τὸ αἷμα αὐτοῦ ὑπὲρ τῆς Πίστεως, ἐδείχθη ὑποδούλων ἀγαλλίαμα καὶ Ἐκκλησίας στῦλος καὶ ἑδραίωμα. Διὸ πάντες αὐτῷ ἐκβοῶμεν. Χαίροις Νεομαρτύρων σύνεδρος καὶ Ἁγίων

ὁμόσκηνος, μεθ᾽ ὧν πρέσβευε δεόμεθα ὑπὲρ τῶν τιμώντων σε.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Ὦ Νικόλαε Θωμᾶ ἱερομ*(ονάχου) *μνήσθητι. Ἀντώνιος.*

*ᾨδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.*

Ὤ! τῶν θαυμασίων σοῦ τὰς δωρεὰς τίς ἐξείποι, ἃς Χριστὸς παρέσχε σοί, Ἀθλοφόρε Κυρίου Νικόλαε Ἔνδοξε; Διὸ καταλαμψον τὴν ἐμὴν διάνοιαν τοῦ ὑμνῆσαι σε.

Νῦν εἰς οὐρανοῦ ταμεῖα τὴν σὴν ψυχήν, Χριστὸς καθίστησι, Γενναιόφρον Νικόλαε, ὥστε μετέχειν ἐκεῖ τῆς Τριάδος τῆς θέας, μετὰ Μαρτύρων χοροῦ.

Ἵνα Παραδείσου τῶν ἀγαθῶν ἐπιτύχῃς, τῶν προσκαίρων καὶ φθαρτῶν ὅλως οὐκ ἐφρόντισας. Διὸ καὶ στεφάνους ἐκ χειρὸς Κυρίου τοῦ Θεοῦ δέδεξαι.

*Θεοτοκίον.*

Κυρία τοῦ παντός, Παναγία, Ὀρθοδόξων τεῖχος ἀπροσμάχητον, τοὺς ὑμνοῦντας Σὲ ἀεὶ ἐκ παντοίων λύτρωσαι δεινῶν καὶ νοσημάτων χαλεπῶν, Θεογεννῆτορ.

*ᾨδὴ γ΄. Οὐκ ἐστὶν Ἅγιος.*

Ὅλον τὸν ἔρωτα Χριστοῦ ἔχων ἐν καρδίᾳ, τοὺς τῶν λίθων αἰκισμούς, Νικόλαε Ἀθλητά, ὑπέφερες καρτερῶς, ὅθεν τὰ νῦν ἀξίως δεδόξασαι.

Λαῷ Βουλγαρικῷ φωταγωγείς, τῇ πέτρα τῶν ἐντολῶν σαυτὸν στερέωσας καὶ οὐδόλως σαλευθής, διὸ Μαρτύρων χοροῖς ἠρυθμήθης, Νικόλαε ἀξιάγαστε.

Ἀγάλλεται φαιδρῶς Σοφία ἡ πόλις Βουλγαρίας, ἔνθα κεῖνται σὰ Λείψανα, Νικόλαε Μακάριε, τὰς νόσους τῶν ἐκεῖ ὀχλουμένων ἰώμενα.

*Θεοτοκίον.*

Εὐφραίνεται ἐπὶ Σή, Θεοτόκε Παρθένε, ὁ πιστὸς λαός Σου, ὅτι Σὴ αὐτὸν ὁδηγείς, τοὺς ἀνευφημοῦντας ἀεὶ τὸ Σὸν τόκον, Μόνη Ἀειπάρθενε.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὸ προσταχθὲν μυστικῶς.*

Τὰς ἀριστείας σου, Σοφέ, ἑωρακότες, τὰς δυναστείας τοῦ ἐχθροῦ καταβαλούσας, δι᾽ αἵματος τοῦ μαρτυρίου ὁ τετέλεκας, σὺν ταῖς ἄνω χοροστασίαις Ἀγγελικῶς καὶ ταῖς κάτω ὑμνῳδίαις τιμητικώς, ἀνυμνοῦμεν σὲ λέγοντες. Μέγας ἐν Μάρτυσι εἰ καὶ λαμπρός, Νικόλαε τῆς Σοφίας.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*ᾨδὴ δ΄. Χριστός μου δύναμις.*

Θεοῦ τοῦ Κυρίου σοῦ ναὸν κατέστησας σὸν σῶμα, Νικόλαε, διὸ Αὐτῷ προσηνέχθης ὡς θυμίαμα καὶ σεπτὴ ὁλοκάρπωσις.

Ὡς τοῦ Κυρίου Μάρτυρος γενναιοτάτου, ἰαμάτων δωρεὰς τοῖς τιμῶσι σέ, κόνις ἡ ἱερὰ τῶν Λειψάνων σου, Νικόλαε.

Μαρτυρίου τὸν στέφανον ἐδέχθης, Κύριον τὸν Θεόν σου, ἐν τῇ καρδίᾳ καὶ τῷ σώματι τιμῶν, Νικόλαε, διὸ καὶ Αὐτῷ προσεφέρθης ὡς σφάγιον.

*Θεοτοκίον.*

Ἄχραντε ὅρμος καταφυγῆς ὑπάρχεις, ἡ γεννήσασα Χριστὸν τὸν δρακὶ συνέχοντα οὐρανοὺς καὶ ἐν σοφίᾳ αὐτοὺς στερεώσαντα.

*Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου.*

Ἰδεῖν κάλλος οὐράνιον ἐπιποθῶν, πολλὰς βασάνους ἐν γῇ ὑπέφερες. Πυρὸς δὲ καῦσιν καὶ λίθων αἰκισμῶν, διὰ νηστείας καὶ ἀγρυπνίας προσεκαρτέρησας.

Ἐκτελούντων ἁπάντων, Ἀθλητά, μνήμην σου τὴν ἁγίαν καὶ σεπτήν, ὑπερασπίζου πάντοτε, ἀπὸ βλάβης ψυχοφθόρου αὐτοὺς ῥυόμενος, σὰς πρεσβείας προσάγων Θεῷ.

Ῥεόντων ἀγαθῶν καὶ κόσμου ἡδέων ὑπεράνω ὤφθης, Μάκαρ, Ἰωαννίνων γόνε καὶ Σοφίας προστάτα. Διὸ παρὰ Θεοῦ τὴν χάριν ἔλαβες τοῦ ἰᾶσθαι τοὺς πάσχοντας.

Ὅλως ὑπὸ Θεοῦ δυναμωθείς, πάσας τοῦ ἐχθροῦ τὰς μηχανὰς ὡς σκύβαλα λελόγισαι, Νικόλαε. Καὶ τὸν σταυρὸν τοῦ Χριστοῦ ἐπ᾿ ὤμων ἀράμενος, ἤρθης πρὸς θείας σκηνάς.

*Θεοτοκίον.*

Μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν, Δέσποινα τοῦ κόσμου Ἀγαθή, τῶν Σὲ ἐπικαλουμένων καὶ πρέσβευε

τῷ Υἱῷ καὶ Θεῷ Σοῦ, ὅπως λυτρώσηται ἡμᾶς τῶν περιστάσεων.

*ᾨδὴ στ΄. Τοῦ βίου τὴν θάλασσαν.*

Μανία Ἀγαρηνῶν ἔσπευδε, ζωῆς τῆς ἐπιγείου ἀποστερῆσαι σέ, Ἔνδοξε. Ἀλλὰ σὺ Βασιλείας Οὐρανῶν στεφάνων ἠξίωσαι καὶ μαρτυρικὴν πορφύραν περιβέβλησαι.

Νευρούμενος τῷ Πνεύματι, ἀήττητος γέγονας προσβολαῖς ταῖς τοῦ ἐχθροῦ. Καὶ τὸ πῦρ ὡς δρόσον δεχόμενος, πηγὴ ἀναδέδειξαι θαυμάτων τῷν κόσμῳ, Παναοίδημε.

Ἡνίκα κατέβαλες, ἀθλητὰ Νικόλαε, τοῦ μαρτυρίου στάδιον, ταῖς χερσί σου κατέχων περιχαρῶς τὸν σταυρὸν ἀνεκραύγαζες. Σὺ γενοῦ μοι ὑπερασπιστὴς καὶ ὑπέρμαχος.

*Θεοτοκίον.*

Σύ, ἡ μόνη κυήσασα τὸν τῶν ὅλων ποιητήν, διαπαντὸς ἱκέτευε δεόμεθα, μετὰ τοῦ Ἀθλοφόρου, ὑπὲρ τῶν Σὲ τιμώντων καὶ ὑμνούντων τὸν τόκον Σου τὸν ἄφθαρτον.

*Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Τῇ πίστει Χριστοῦ τραφεὶς ὁ παναοίδημος, Αὐτοῦ τὸν Σταυρὸν κατέχων ὡσεὶ θώρακα, Ἀγαρηνῶν φρυάγματα καὶ μανίαν στεῤῥῶς κατέβαλε, Νεομαρτύρων ὁ πρόκριτος Νικόλαος, ὁ πρεσβείαν ποιούμενος ὑπὲρ πάντων ἡμῶν.

*Ὁ Οἶκος*

Τὸν ὑπὲρ τῆς ἡμῶν σωτηρίας τηθέντα Κύριον, Χριστὸν τὸν Θεόν, πόθων Νικόλαος ὁ Νεομάρτυς, ἔσπευσε θανεῖν ὑπὲρ Αὐτοῦ, πόθον μέγαν τε καὶ θεῖον ἐν τῇ καρδία ἐσχηκώς, διὸ καὶ θῦμα ἑαυτὸν ἐθελούσιον προσήγαγε. Αὐτὸν οὖν καὶ ἡμεῖς ὡς θερμὸν προστάτην ἀνυμνήσωμεν, τὸν ὡς ῥόδον ἐν χειμῶνι φανέντα καὶ ὡς φῶς ἐν τῷ σκότει ἀναλάμψαντα, ὡς φησὶ Νικόδημος. Διὸ καὶ πρεσβείαν ποιεῖται ὑπὲρ πάντων ἡμῶν.

*Συναξάριον*

Τῇ ΙΖ΄ τοῦ αὐτοῦ μηνός, ὁ Ἅγιος Νεομάρτυς Νικόλαος ὁ ἐξ Ἰωαννίνων, ἐν Σόφιᾳ τῆς Βουλγαρίας, ἐν ἔτει 1555, λιθοβοληθεὶς τελειοῦται.

*Τῷ του Πνεύματος φωτὶ καταυγασθεὶς ὁ Νικόλαος,*
*τοῦ φθηρομένου πυρὸς τὴν καῦσιν κατεφρόνησεν.*

*Ὠδὴ ζ΄. Δροσοβόλον μέν.*

Θανάτου λαμπρυνθεὶς τῷ παθήματι, λάμπεις τῇ Ἐκκλησία ὡς ἀστήρ, καταυγάζων τῇ σῇ χάριτι τοὺς συμφώνως τῷ Κυρίῳ ψάλλοντας, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἰ.

Ἠπείρου, Νικόλαε, ὤφθης, ἔνδοξος ἀστήρ, ἀειλαμπέστατος. Ἧς βλάστημα τυγχάνεις καὶ τιμῆς πρόξενος. Διὸ βοῶμεν, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἰ.

Τελοῦντες μετὰ θυμηδίας καὶ χαρᾶς τὴν ἑόρτιον μνήμην σου, ὢ Νικόλαε, τὴν ἁγίαν καὶ μαρτυρικήν, Χριστῷ βοῶμεν. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἰ.

*Θεοτοκίον.*

Ἱκέτευε, Ἄχραντε Ἁγνή, μετὰ τοῦ Ἀθλοφόρου, Ὃν ἐκύησας Χριστὸν τὸν Κύριον, ἐκλυτρώσασθαι ἡμᾶς πάσης πλάνης, ἀληθῶς εὐλογημένη Κυρία Δέσποινα.

*ᾨδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.*

Ἀνυποίστων κακῶν βαρυνθέντα μεγέθει, τὸν λαόν σου τὸν ἐν πίστει τιμῶντα σέ, ταῖς σαῖς πρὸς Θεὸν ἱκεσίαις λυτροῦσαι ἀεί, διὸ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Νῦν εὐφραίνεται πόλις τῆς Σοφίας φαιδρῶς, σὲ προστάτην καὶ ῥύστην ἔχουσα, Νικόλαε. Νέος γὰρ αὐτὴ ἀνέτειλας ἥλιος, διὸ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Τοὺς ἐπιτελοῦντας τὴν σὴν ἔνδοξον μνήμην, σῴζεις ἀεὶ πρεσβείαις σου, Μάρτυς Χριστοῦ Νικόλαε, καὶ πάντας ἡμᾶς σκέπεις, διὸ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ὢ Μῆτερ Θεοτόκε, Σὲ πάντες δοξάζομεν, ὡς τεκοῦσαν τὸν Κτίστην καὶ Ποιητὴν τοῦ παντός. Καὶ Σὴν χάριν ὁμολογοῦντες, Χριστὸν εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.*

Νικόλαε σεπτέ, Ἀντωνίου ζωὴν περιφρούρησον καὶ Νικολάου ψυχὴν ἀναπαῦσον. Σὲ γὰρ προβάλλομεν μεσίτην πρὸς Θεὸν καὶ ταῖς εὐχαῖς σου θαῤῥοῦντες προσπίπτωμεν, πίστει καὶ πόθῳ ἀκλινεῖ ἀνευφημοῦντες σε.

Ἰωαννίνων ἡ πόλις, Μάρτυς, σεμνύνεται, ὡς ἐπὶ γῆς ἡ πατρίς σου. Καὶ πρὸς Θεὸν σὲ προβάλλεται πρόμαχον, ῥύοντα αὐτὴν κινδύνων καὶ περιστάσεων, πίστει τε καὶ πόθῳ ἀκλινεῖ ἀνευφημοῦσα σε.

Ὄλβιος τόπος ἡ γῆ, ἡ τὸ αἷμά σου δεξαμένη, καρτερόψυχε, ὡς τοῦ Ἄβελ ποτὲ τοῦ δικαίου. Διὸ τιμᾷ σὲ Βουλγάρων τὸ γένος, ὡς νικητὴν τοῦ ἀντιπάλου καὶ πολεμήτορος, πίστει τε καὶ πόθῳ ἀκλινεῖ ἀνευφήμων σε.

*Θεοτοκίον.*

Σοφῶς τὸν ἄνθρωπον ἔπλασε τὸ πρίν, ὁ Σὸς Υἱὸς Παρθένε. Καὶ φθαρέντα ἀνέπλασε διά Σου, Πανύμνητε, καὶ θείου φωτὸς τοῦ ἀνεσπέρου ἡμᾶς ἐπλήρωσε, τοὺς Σὲ Θεοτόκον ἀληθῆ πίστει δοξάζοντες.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Χριστὸς τὴν σὴν ἐδέξατο θυσίαν ὡς θυμίαμα, Νικόλαε Νεομάρτυς, καὶ ἀντιδόξασεν. Ὅθεν ἡμεῖς καθικετεύομεν, μὴ παύσῃς ταῖς πρεσβείαις σου, ἁμαρτημάτων τὴν λύσιν, δοῦνε ἡμῖν, Ἀθλοφόρε, τών σου τιμώντων τὴν μνήμην.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

*Αἶνοι. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Πάντες τὸν Νικόλαον, τὸν Μάρτυρα τοῦ Κυρίου, ἐν ὕμνοις τιμήσωμεν, Ὀρθοδόξων σύστημα καὶ ὑμνήσωμεν. Εὐκλεῶς ἤθλησεν, ἐν ἐσχάτοις χρόνοις, αἰκισμοὺς φαιδρῶς ὑπήνεγκεν καὶ καθυπέμεινε Χάριτι Κυρίου σθενούμενος. Φωτὸς δὲ θείου σκήνωμα ὁ ἀγωνοθέτης ἀνέδειξεν. Οὐ ταῖς ἱκεσίαις, Φιλάνθρωπε, τοῦ κόσμου Λυτρωτά, μετανοεῖν καθοδήγησον, τοὺς αὐτὸν γεραίροντας.

Νικόλαον Πανθαυμαστόν, τὸν στολισμὸν τῆς Ἠπείρου καὶ Σοφίας τὸν φύλακα, ἐγκωμίων ᾄσμασιν εὐφημήσωμεν. Τῷ Χριστῷ γὰρ ἔθυσεν, ἐν πυρὶ καὶ λίθοις, τὴν ζωὴν καὶ πάντας ἤγειρε πρὸς μετάνοιαν καὶ δοξολογίαν τοῦ Κτίσαντος. Διὸ καὶ ὁ Φιλάνθρωπος Χριστὸς ἐν οὐρανοῖς τοῦτον ἔστεψε, στεφάνῳ ἀμαράντῳ. Καὶ Θρόνῳ παριστάμενος Αὐτοῦ, ἀδιαλείπτως τὴν δέησιν ὑπὲρ ἡμῶν προχέεται.

Πόθῳ Νεομάρτυρα Νικόλαον, θεοδεκτοῖς ᾠδαῖς ἀνυμνήσωμεν καὶ αὐτοῦ τὰ λείψανα ἀσπασόμεθα. Τὸν Σταυρὸν ἦρε γάρ, ὑπὲρ ἀληθείας καὶ τὸ πῦρ χαίρων ὑπήνεγκε καὶ ἀπεδέξατο ὑπ᾽ Ἀγαρηνῶν τὸ μαρτύριον. Πιστοὺς δὲ ἐκραταίωσεν ἐν Χριστοῦ τῇ Πίστει ἀθλήσει τε. Ὅθεν ὡς Θεόφρων, ἀξίως ἐν Μαρτύρων τοῖς χοροῖς, συνυπήχει τούτων μέλπουσιν καὶ Χριστὸν γεραίρουσιν.

Μάρτυρα Θεόφρονα, τῆς Ἐκκλησίας τὸν κόσμον, Νεομαρτύρων καύχημα,ἐν ψαλμοῖς ὑμνήσωμεν καὶ τιμήσωμεν. Τὸν Χριστὸν φέρων γὰρ σταθερῶς ἐν

στέρνοις, διὸ Πίστιν τὴν ἀκήρατον λαμπρῶς ἐκήρυξε, ὑπὸ ἀλλοφύλων καιόμενος. Διὸ καὶ εἰσελήλυθεν εἰς τὰ ἐπουράνια δώματα, ἔνθα μετὰ Μαρτύρων τῷ Θρόνῳ παριστάμενος Θεοῦ, θερμῶς πρεσβεύει πρὸς Κύριον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Βραβεῖον ἱερὸν καὶ στέφανον ἐξ ἀκηράτων ἀνθέων, παρὰ τοῦ Ἀθλοθέτου Χριστοῦ ἐκομίσω, Νεομάρτυς Νικόλαε. Ὅτι διὰ βίου καὶ τέλους Αὐτὸν Θεὸν διεκήρυξας καὶ τὴν Ἀγαρηνῶν πίστιν ὡς μανίαν κατήλεγξας. Μακαρία ἡ γῆ ἡ πιανθεῖσα σοῖς αἵμασιν καὶ τῇ σποδῷ τῶν Λειψάνων σου. Ὡς ἔχουν οὖν πρὸς Θεὸν παῤῥησίαν πολλήν, ἐκ πάσης ἐπηρείας ἡμᾶς ἐλευθέρωσον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Ὁ Ἀπόστολος.*

Προκείμενον Ἦχος δ΄. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στιχ. *Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.*

*Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.*

*(Ἐφεσ. 10-17).*

*Ἀλληλούϊα.* Ἦχος β΄. *Ἐπακούσαι σοῦ Κύριος ἐν ἡμέρα θλίψεως.*

Στιχ. *Κύριε σῶσον τὸν βασιλέα καὶ ἐπάκουσον ἡμῶν.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον. (Ματθ. κ , 1-16).*

*Μεγαλυνάριον.*

Χαίροις Νεομάρτυς ὁ τοῦ Ἰησοῦ καὶ τῶν ἀθλοφόρων ἡ πανευφρόσυνος χαρμονή, μαστίγιον τῆς Ἄγαρ, Ἠπείρου ὁ προστάτης καὶ γῆς τῆς Βουλγαρίας, κλεινὲ Νικόλαε.

